**14.** Ἀποστολίου τοῦ Βυζαντίου στίχοι ἰαμβικοί, ἡρωϊκοὶ καὶ ἡρωελεγεῖοι εἰς τὰς δεσποτικὰς ἑορτὰς καὶ εἰς τοὺς ἐλλογίμους τῶν ἁγίων[1]. En tête de ces poèmes on lit l'épître dédicatoire suivante :

ΕΜΜΑΝΟΥΗΛῼ Τῼ ΑΤΡΑΜΥΤΤΙΝῼ.

Χάριτάς σοι νομίζω, Ἐμμανουῆλε καλὲ, ὅτι με συμβουλεύων ἐπῆρας ἐν οἷς εἰ καὶ μηδ' ὁπωσοῦν εὖ εἶχον λόγου τε καὶ παιδείας, καθῆκα ἂν ἐμαυτὸν, καὶ τυχὸν ἀπεριμερίμνως τοῖς ἐλλογίμοις ἐπιγράμματα ξυνθεῖναι τῶν παλαιῶν, καὶ μάλιστα τοῖς μυστηρίοις Χριστοῦ, ὑπὲρ οὗ καὶ ἠνδρίσαντο καὶ ἠγωνίσαντο καὶ ἐνίκησαν καὶ ἐταινιώθησαν οἵ γε ἄνθρωποι ὄντες καὶ γῆν πατοῦντες, οὐρανοβάμονές τε ἐγένοντο τῇ μελέτῃ τῶν ἀρετῶν καὶ παρὰ πάντας ὑμνήθησαν τοὺς θεοὺς, οἵ τινων ἐπιχήρων ἔργων εὑρέται γεγονότες τοσοῦτον Ἕλλησιν ἐτιμήθησαν ὅσον ὕστερον ἡμῖν ἠτιμάσθησαν. Ἐπεὶ δὲ καὶ λόγων ἔχω μετρίως, καὶ νόμος οὐχ ὅπως φίλοις καὶ φοιτηταῖς, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις παρακελεύεται πείθεσθαι ᾗ ἂν προσῆκον καὶ εὔλογον, ὑπεικτέον ἂν εἴη τῷ φοιτητῶν μοι καλλίστῳ καὶ πᾶσι φίλοις ὑπερκειμένῳ ἐν οἷς ἡττηθῆναι νίκης ἄλλων οὐ χεῖρον, καὶ τὸ νικῆσαι στεφάνων τῶν ἐν Ὀλυμπίοις πάντων ἐπέκεινα. Ὁποτέρως δ' ἄν γε τὸ πρᾶγμ' ἀποβαίῃ οὐκ ἄμοιρος ἔσῃ τῆς ἐφ' ἑκάτερα ξυντυχίας, τῶν γὰρ ὁποτέρως ἐξόντων ὁ τὴν αἰτίαν διδοὺς, δίκαιος ἂν εἴη καὶ τούτων τοὺς καρποὺς ἀποφέρεσθαι. Ἡμῖν μὲν δὴ σοι ποιητέον ἂν εἴη τοὐπίταγμα οὐχ ὅτι γε τοῦτο, ἀλλὰ καὶ ἄλλο γε ὁτιοῦν, εἰ καὶ πῦρ ἐκείνῳ παρέρρεεν, ὥς φασι, ξυντιθεῖσι μὲν στίχω δύο ἰαμβικὼ καὶ ἕνα μετὰ τούτω ἡρωϊκὸν, εἶτ' αὖθις ἡρωελεγεῖον ἄλλον προστιθεῖσιν ἀφ' ἑαυτῶν, ὡς ἄν τι φανεῖμεν πλέον τι πεποιηκότες τῶν πρὸ ἡμῶν. Πλὴν ἔγωγε καὶ ἀπάρτι κατ' ἐμαυτοῦ τὴν μέλαιναν τίθημι, ὡς εἰ καὶ δὶς τοσούτους ἤπερ ἐκεῖνοι ποιήσοιμι, οὐκ ἂν φθαίην ἐκείνους κατ' οὐδέν γε τῶν πονημάτων. Ἔρρωσο[2].

Nous empruntons à ce recueil la pièce suivante, à titre d'échantillon :

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΓΕΩΡΓΙΟΝ.

Γεώργιος τίθησιν ἡμῖν εἰς χόρον
πάθη τὰ αὐτοῦ ὡς ὀψώνιον ξένον.
Καρτερικῶς θάνε Γεώργιος εἰκάδι εἰν τριτάτῃ τε,
εἰς ἐριβώλακα γαῖαν σπείρας Γεώργιος ἥρως,
σῖτον ἀγήρω νῦν καὶ πολύκαρπον ἔχει[3]

A la suite de ces éloges de saints, on trouve quatre épitaphes ; nous

1. Dans le *Parisinus* n° 1744 de l'ancien fonds grec, lequel pour cette partie (ff. 37-58) est un autographe de Michel Apostolios.

2. *Ibid.*, f. 37 r° et v°.

3. *Parisinus* n° 1744 de l'ancien fonds grec, f. 50 v°.